# Ἰωάννου Γ

Ὁ πρεσβύτερος Γαΐῳ[1] τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. 1

Ἀγαπητέ, περὶ πάντων εὔχομαί[2] σε εὐοδοῦσθαι[3] καὶ ὑγιαίνειν,[4] καθὼς 2
εὐοδοῦταί[3] σου ἡ ψυχή. Ἐχάρην γὰρ λίαν,[5] ἐρχομένων ἀδελφῶν καὶ 3
μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. 4
Μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν
ἀληθείᾳ περιπατοῦντα.

Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς 5
ξένους,[6] οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας: οὓς 6
καλῶς ποιήσεις προπέμψας[7] ἀξίως[8] τοῦ θεοῦ. Ὑπὲρ γὰρ τοῦ 7
ὀνόματος ἐξῆλθον μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν. Ἡμεῖς οὖν 8
ὀφείλομεν ἀπολαμβάνειν[9] τοὺς τοιούτους, ἵνα συνεργοὶ[10] γινώμεθα
τῇ ἀληθείᾳ.

Ἔγραψα τῇ ἐκκλησίᾳ: ἀλλ᾽ ὁ φιλοπρωτεύων[11] αὐτῶν Διοτρεφὴς[12] οὐκ 9
ἐπιδέχεται[13] ἡμᾶς. Διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω[14] αὐτοῦ τὰ ἔργα ἃ 10
ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν[15] ἡμᾶς: καὶ μὴ ἀρκούμενος[16] ἐπὶ
τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται[13] τοὺς ἀδελφούς, καὶ τοὺς

[1] Γάϊος, ου, ὁ, Gaius. [2] εὔχομαι, pray, wish. [3] εὐοδόω, cause to prosper. [4] ὑγιαίνω, be in good health, am well. [5] λίαν, greatly, very. [6] ξένος, strange, stranger. [7] προπέμπω, send before, send forth. [8] ἀξίως, worthily, in a manner worthy of. [9] ἀπολαμβάνω, receive from, get back. [10] συνεργός, οῦ, ὁ, fellow worker. [11] φιλοπρωτεύω, wish to be first, desire preeminence. [12] Διοτρέφης, ους, ὁ, Diotrephes. [13] ἐπιδέχομαι, receive, accept. [14] ὑπομιμνήσκω, remind, remember. [15] φλυαρέω, gossip against, talk nonsense about. [16] ἀρκέω, assist, suffice.

βουλομένους κωλύει,[1] καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει. Ἀγαπητέ, μὴ 11
μιμοῦ[2] τὸ κακόν, ἀλλὰ τὸ ἀγαθόν. Ὁ ἀγαθοποιῶν[3] ἐκ τοῦ θεοῦ ἐστίν:
ὁ κακοποιῶν[4] οὐχ ἑώρακεν τὸν θεόν. Δημητρίῳ[5] μεμαρτύρηται ὑπὸ 12
πάντων, καὶ ὑπ᾽ αὐτῆς τῆς ἀληθείας: καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ
οἴδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής[6] ἐστιν.

Πολλὰ εἶχον γράφειν, ἀλλ᾽ οὐ θέλω διὰ μέλανος[7] καὶ καλάμου[8] σοι 13
γράψαι: ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα 14
λαλήσομεν. Εἰρήνη σοι. Ἀσπάζονταί σε οἱ φίλοι. Ἀσπάζου τοὺς
φίλους[9] κατ᾽ ὄνομα.

[1] κωλύω, forbid, hinder. [2] μιμέομαι, imitate, emulate. [3] ἀγαθοποιέω, do good/right, do what is good/right. [4] κακοποιέω, do evil, harm. [5] Δημήτριος, ου, ὁ, Demetrius. [6] ἀληθής, true, unconcealed. [7] μέλαν, ink. [8] κάλαμος, ου, ὁ, reed, reed-pen. [9] φίλος, ου, ὁ, loving, friend.